κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ δεσπότου τῆς ἀθέσμου μὲν προθέσεως
πολὺ διεσφαλμένος, τοῦ δὲ ἀμεταθέτου λογισμοῦ μεγάλως διεψευ-
σμένος. [13]οἵ τε Ιουδαῖοι τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες τὸν 13
ἅγιον ᾔνουν θεὸν αὐτῶν καὶ πάλιν ἠξίουν τὸν εὐκατάλλακτον δεῖ-
ξαι μεγαλοσθενοῦς ἑαυτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερηφάνοις.
[14]μεσούσης δὲ ἤδη δεκάτης ὥρας σχεδὸν ὁ πρὸς ταῖς κλήσεσιν 14
τεταγμένος ἀθρόους τοὺς κλητοὺς ἰδὼν ἔνυξεν προσελθὼν τὸν
βασιλέα. [15]καὶ μόλις διεγείρας ὑπέδειξε τὸν τῆς συμποσίας καιρὸν 15
ἤδη παρατρέχοντα τὸν περὶ τούτων λόγον ποιούμενος. [16]ὃν ὁ βα- 16
σιλεὺς λογισάμενος καὶ τραπεὶς εἰς τὸν πότον ἐκέλευσεν τοὺς
παραγεγονότας ἐπὶ τὴν συμποσίαν ἄντικρυς ἀνακλῖναι αὐτοῦ. [17]οὗ 17
καὶ γενομένου παρῄνει εἰς εὐωχίαν δόντας ἑαυτοὺς τὸ παρὸν τῆς
συμποσίας ἐπὶ πολὺ γεραιρομένους εἰς εὐφροσύνην καταθέσθαι
μέρος. [18]ἐπὶ πλεῖον δὲ προβαινούσης τῆς ὁμιλίας τὸν Ἕρμωνα 18
προσκαλεσάμενος ὁ βασιλεὺς μετὰ πικρᾶς ἀπειλῆς ἐπυνθάνετο,
τίνος ἕνεκεν αἰτίας εἰάθησαν οἱ Ιουδαῖοι τὴν περιοῦσαν ἡμέραν
περιβεβιωκότες. [19]τοῦ δὲ ὑποδείξαντος ἔτι νυκτὸς τὸ προσταγὲν 19
ἐπὶ τέλος ἀγειοχέναι καὶ τῶν φίλων αὐτῷ προσμαρτυρησάντων
[20]τὴν ὠμότητα χείρονα Φαλάριδος ἐσχηκὼς ἔφη τῷ τῆς σήμερον 20
ὕπνῳ χάριν ἔχειν αὐτούς· ἀνυπερθέτως δὲ εἰς τὴν ἐπιτελοῦσαν
ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέφαντας ἐπὶ τὸν τῶν
ἀθεμίτων Ιουδαίων ἀφανισμόν. [21]εἰπόντος δὲ τοῦ βασιλέως ἀσμένως 21
πάντες μετὰ χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέσαντες εἰς τὸν ἴδιον
οἶκον ἕκαστος ἀνέλυσεν. [22]καὶ οὐχ οὕτως εἰς ὕπνον κατεχρήσαντο 22
τὸν χρόνον τῆς νυκτός, ὡς εἰς τὸ παντοίους μηχανᾶσθαι τοῖς
ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς.

[23]Ἄρτι δὲ ἀλεκτρυὼν ἐκέκραγεν ὄρθριος, καὶ τὰ θηρία καθ- 23
ωπλικὼς ὁ Ἕρμων ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. [24]τὰ δὲ κατὰ 24
τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν προσ-
δοκῶντα τὴν πρωίαν μετὰ σπουδῆς. [25]οἱ δὲ Ιουδαῖοι κατὰ τὸν 25
ἀμερῆ ψυχουλκούμενοι χρόνον πολύδακρυν ἱκετείαν ἐν μέλεσιν
γοεροῖς τείνοντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐδέοντο τοῦ με-
γίστου θεοῦ πάλιν αὐτοῖς βοηθῆσαι συντόμως. [26]οὔπω δὲ ἡλίου 26
βολαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως τοὺς φίλους ἐκδεχομένου
ὁ Ἕρμων παραστὰς ἐκάλει πρὸς τὴν ἔξοδον ὑποδεικνύων τὸ πρό-
θυμον τοῦ βασιλέως ἐν ἑτοίμῳ κεῖσθαι. [27]τοῦ δὲ ἀποδεξαμένου 27

18 προβαιν.] προσκοπτουσης A† | πικρας] -ριας A† | (ε)ιαθησαν] ιασθ. A†: cf. Thack. p. 220 || 19 ετι *L*] οτι A, > compl. | αγ(ε)ιοχ. unus cod.] ηγιοχ. AV*, ηγηοχ. V^c: cf. 45 | αυτω] -των A pau., -του V† || 20 τω] το AV | επιτελουσαν V pau.] υποστελλουσαν A†, επιουσαν *L*†, επιτελλ. compl. || 22 ως εις το] ωστε V*L* || 26 εκαλει] επικαλει A† | υποδεικνυων] -νυς A†